# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ
## ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ
## ΑΡΤΕΜΙΟΝ

Ποίημα Γερασίμου Μικραγιαννανίτου.
Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσεν,
τὸ Θεὸς Κύριος τετράκις καὶ τὸ ἑξῆς.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ως τῶν πασχόντων ἀρωγὸς καὶ προστάτης, καὶ θλιβομένων εὐμενὴς ἀντιλήπτωρ, Ἀρτέμιε μακάριε ὁπλῖτα τοῦ Χριστοῦ, ἴδε τοὺς προστρέχοντας, τῷ ἁγίῳ Ναῷ σου, καὶ πᾶσι πρυτάνευσον, τὴν σὴν ἔνθεον χάριν, νόσων δεινῶν λυτρούμενος ἡμᾶς, καὶ δυσφορήτων σοφὲ περιστάσεων.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**
**Οὐ σιωπήσωμεν ποτέ.**
**Ὁ Ν΄. ψαλμὸς καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.**
**Ἀρτέμιε ἡμᾶς διαφυλάττοις. Γερασίμου.**
**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

Ακτῖσι τῶν θείων σου πρεσβειῶν, Ἀρτέμιε μάρτυς διασκέδασον ὁλικῶς, παθῶν ἀκαθέκτων τὴν ὁμίχλην καὶ εὐφροσύνην παράσχου τοῖς δούλοις σου.

Ρυόμενος νόσων παντοδαπῶν, καὶ πάσης ἀνάγκης, καὶ ποικίλων ἐπιφορῶν, ἐμφάνηθι Μάρτυς ἀοράτως τοῖς τὴν θερμήν σου αἰτοῦσιν ἀντίληψιν.

Τοῖς πάσχουσι τάχιστα βοηθῶν, καὶ τοῖς θλιβομένοις, καθ' ἑκάστην ἐπικουρῶν, θερμὸς ἀρωγὸς ἀεὶ γνωρίζη ἐν εὐκαιρίαις τοῖς πᾶσιν Ἀρτέμιε.

Θεοτοκίον.

Ἐλέους τεκοῦσα τὸν χορηγόν, ἐλέησον Κόρη ὡς οἰκτίρμων καὶ συμπαθής, τοὺς πλήθει δεινῶν ἐταζομένους, καὶ τὴν ὀδύνην ἡμῶν ἀνακούφισον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Μανικῆς ἐπηρείας, καὶ συστροφῆς χείρονος, τοῦ ἀνθρωποκτόνου Βελίαρ, Μάρτυς Ἀρτέμιε, σπεῦσον καὶ λύτρωσαι, τοὺς ὁλοτρόπῳ ἐφέσει, αἰτούμενος ἔνδοξε τὴν προστασίαν σου.

Ἱλασμὸν καὶ εἰρήνην καὶ τῶν δεινῶν λύτρωσιν, καὶ ἀσθενημάτων δυστλήτων, ταχεῖαν ἴασιν, δίδου Ἀρτέμιε, ταῖς θεοδέκτοις λιταῖς σου, τοῖς ἀεὶ προστρέχουσι, τῇ ἀντιλήψει σου.

Εὐμενῆ ἀρωγόν σε, καὶ βοηθὸν ἕτοιμον, ἐν τοῖς πολυτρόποις ἀνάγκαις, τοῦ βίου ἔχοντος, ἐκλυτρωθείημεν πολυειδῶν συμπτωμάτων καὶ γαλήνης τύχοιμεν τῇ προμηθείᾳ σου.

Θεοτοκίον.

Η τὴν ἄστεκτον φύσιν, σωματικῶς τέξασα, φλέξον τῶν παθῶν μου τὴν ὕλην τὴν εὐκατάπρηστον, ζωῆς τῷ ἄνθρακι, τοῦ παρελθόντος ἀφλέκτως, ἐξ ἁγνῶν αἱμάτων σου, Παρθένε ἄχραντε.

Διάσωσιν Μεγαλομάρτυς Ἀρτέμιε τοὺς σοὺς δούλους, ἐκ παντοίων ἀσθενειῶν καὶ κακώσεων, ῥῶσιν παρέχων τοῖς χρήζουσι τὴν κατ' ἄμφω.

**Ἐπίβλεψον ἐν εὐμενείᾳ. Αἴτησις καὶ τὸ κάθισμα.**
**Ἦχος β'. Πρεσβεία θερμή.**

Προστάτης θερμὸς καὶ πρέσβυς δραστικώτατος, ἡμῶν πρὸς Θεὸν ὑπάρχων ὦ Ἀρτέμιε, διαπαντὸς διάσωζε, ἐκ ποικίλων κινδύνων καὶ θλίψεων τοὺς ἐπιβοωμένους ἐκ ψυχῆς τὴν σὴν Χριστομίμητον χρηστότητα.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Μαρτυρίου τὸν δίαυλον εὐκλεῶς ἀνύσας Μάρτυς Ἀρτέμιε, πρὸς ὁδὸν εὐθεῖαν ἴθυνον θείων ἐνταλμάτων τὰς ψυχὰς ἡμῶν.

Ἀσθενοῦσι τὴν ἴασιν, καὶ τοῖς θλιβομένοις τὴν ἀγαλλίασιν, καὶ τοῖς πᾶσι τὴν σὴν εὔνοιαν, πάρεχε πλουσίως ὦ Ἀρτέμιε.

Συμπαθείᾳ κινούμενος, πανταχοῦ προφθάνεις τοὺς προσφωνοῦντας σε, καὶ παρέχεις τὰ αἰτήματα, πρὸς σωτηρίαν ὦ Ἀρτέμιε.

Θεοτοκίον.

Διαυγὴς καὶ ὑπέρλαμπρος, καὶ θεαυγεστάτη λυχνία ἔμψυχε, τὴν ψυχήν μου καταλάμπρυνον, τὴν ἐσκοτισμένην Μητροπάρθενε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἴασαι ἡμῶν τῶν σωμάτων τὰ νοσήματα, καὶ ψυχῶν τὰς ἀρρωστίας τὰς δεινάς, τῇ Θεόθεν σοι δοθείσῃ Μάρτυς χάριτι.

Ἄγρυπνον φρουρὸν καὶ θερμόν σε ἀντιλήπτορα, κεκτήμενοι ὦ Ἀρτέμιε σοφέ, διὰ σοῦ πάσης ἀνάγκης ἐκλυτρούμεθα.

Φύλαττε ἡμῶν ἀστασίαστον Ἀρτέμιε, τὴν ζωὴν ἐκ τῶν σκανδάλων τοῦ ἐχθροῦ, ἐν εἰρήνῃ κυβερνῶν ἡμᾶς πρὸς Κύριον.

Θεοτοκίον.

Ὕπερθεν ἁγνή, μὴ ἐλλείπῃς ἐποπτεύουσα, τοὺς ἀεὶ προσατενίζοντας θερμῶς τῇ στερρᾷ ἐπισκοπῇ τῆς βοηθείας σου.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Λεόντων με, νοητῶν τοῖς δήγμασι, τὴν ψυχὴν τραυματισθέντα δολίως, καὶ ἐταζόμενον σώματος νόσοις, καὶ τὴν ζωὴν ἐν ὀδύνῃ ἀνύοντα, σὺ ἐπιστὰς ὦ Ἀθλητά, τῶν παρόντων δεινῶν με ἀπάλλαξον.

Ακύμαντον εὑρηκότες ὅρμον σε, οἱ στροβούμενοι θαλάσση τοῦ βίου, καὶ κυματούμενοι ζάλη τοῦ κόσμου, ἀπὸ ψυχῆς σοὶ βοῶμεν Ἀρτέμιε: Κυβέρνησον ἡμᾶς σοφέ, πρὸς γαλήνην τελείαν καὶ ἄκλυστον.

Τὰ πάθη μου, τὰ πολλὰ θεράπευσον, ἀοράτῳ σου ῥοπῇ ζωηφόρῳ, καὶ τῆς ἀθλίας ψυχῆς μου τὸν πόνον, εἰς ἀληθῆ εὐφροσύνην μετάβαλε, Μεγαλομάρτυς τοῦ Χριστοῦ, ἀθλοφόρων ἀκρότης Ἀρτέμιε.

**Θεοτοκίον.**

Τὰς ἕξεις μου, τῆς καρδίας ἔκτιλλον, καὶ τὰς χείρω ἀκρατεῖς συνηθείας, δι' ὧν πρὸς πράξεις ἀτόπους Παρθένε καὶ μὴ βουλόμενος οἴμοι! καθελκύομαι, καὶ φόβον τὸν ζωοποιόν, τῇ ψυχῇ μου εἰς τέλος ἐμφύτευσον.

Διάσωσον Μεγαλομάρτυς Ἀρτέμιε τοὺς σοὺς δούλους, ἐκ παντοίων ἀσθενειῶν καὶ κακώσεων, ῥῶσιν παρέχων τοίς χρήζουσι τὴν κατ' ἄμφω.

**Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον.**

**ΑΙΤΗΣΙΣ ΚΑΙ ΤΟ ΚΟΝΤΑΚΙΟΝ**

**Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.**

Προμηθείᾳ τῆς μαρτυρικῆς εὐκληρίας σου, καὶ πρεσβείᾳ τῆς πρὸς τὸν Θεὸν παρρησίας σου, μὴ ελλείπης ὦ Ἀθλητὰ προΐστασθαι ἡμῶν, ἀλλὰ πάντοτε ἐν λυπηροῖς, γενοῦ βοήθεια ἡμῖν τοῖς πιστῶς ἐκβοῶσί σοι: θλίψεων ἐνεστώτων, καὶ πόνων ἐπερχομένων, ἀτρώτους φύλαττε ἡμᾶς θεοδόξαστε Ἀρτέμιε.

Προκείμενον: Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.
Στῖχος. Θαυμαστὸς ὁ Θεός.
ΕΥΑΓΓΕΛΙΟΝ ΜΑΡΤΥΡΙΚΟΝ
Δόξα. Ταῖς τοῦ ἀθλοφόρου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου
ΠΡΟΣΟΜΙΟΝ
Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.
Στῖχος. Ἐλέησον με Θεός.

Πλήρης ἀγαθότητος, καὶ ἱλαρότητος πέλων, ὡς τοῦ Λόγου σύμφυτος, τοῦ σὲ μεγαλύναντος, ἐν τοῖς πέρασι, συμπαθῶς οἴκτειρον, τοὺς τετρυχωμένους, τοῖς ποικίλοις παραπτώμασιν· ὅτι ἐν δάκρυσι, τῇ μεσιτείᾳ προσήλθομεν, ζητοῦντες σου τὸ ἔλεος, καὶ ὁλοκαρδίως βοῶντες σοι: Μάρτυς Ἀθλοφόρε, Ἀρτέμιε θεράπων τοῦ Χριστοῦ, πλήρου ἡμῶν τὰ αἰτήματα καὶ πᾶσιν ἐπάρκεσον.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὀδυνώμενος σφόδρα, περιστάσεσι πλείσταις καὶ πειρασμῶν τῇ φορᾷ τὴν σὴν ἐπιστασίαν, πρὸς λύτρωσιν τελείαν, ἐξαιτοῦμαι Ἀρτέμιε, ἥν μοι παράσχου σοφέ, ῥυθμίζω τὴν ζωήν μου.

Ἰαμάτων τὴν χάριν, χαρισμάτων τὴν δρόσον καὶ δωρεῶν παροχήν, πηγάζων θεοσδότως, εὐφραίνεις τε καὶ θάλπεις καὶ ἴασαι τοὺς κράζοντας: σὲ ἀνυμνοῦμεν ἀεί, Ἀρτέμιε τρισμάκαρ.

Συμφορῶν πολυστόνων, ὀδυνῶν πολυπόνων πολυειδῶν ἀναγκῶν, κινδύνων ψυχοφθόρων, σκανδάλων πολυτρόπων, καὶ ποικίλων συμπτώσεων, φρούρει ἡμᾶς ἀσινεῖς Ἀρτέμιε τρισμάκαρ.

### Θεοτοκίον.

Γαλήνην καὶ εἰρήνην καὶ ὁμόνοιαν πλήρη καὶ συνοχὴν ψυχικήν, παράσχου Θεοτόκε τοῖς πίστει τῷ Υἱῷ σου, ἐκβοῶσι καὶ λέγουσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

### Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἐντεροκήλης, σὲ ἀληθῆ ἰατῆρα, ἐπιστάμενος Ἀρτέμιε βοῶ σοι: Ρῦσαι με τῆς ταύτης, ὀδύνης τε καὶ βλάβης.

Ρῶσιν, πλουσίαν, καὶ ζωοδώρητον χάριν, τῇ τοῦ Πνεύματος· τερπνῇ ἐπισκιάσει, βλύζει ὁ Ναός σου Ἀρτέμιε τοῖς πᾶσιν.

Ἄφεσιν αἴτει, πλημμελημάτων θεόθεν, καὶ βελτίωσιν ἠθῶν ἡμαρτημένων, τοῖς κεκτημένοις, Ἀρτέμιε προστάτην.

### Θεοτοκίον.

Σωτηριώδη πρὸς τὸν Χριστὸν ὤφθης πύλη, Κόρη ἄγουσα πρὸς λῆξιν αἰωνίαν, τοὺς ὑπερυψοῦντας, τὰς θείας σου ὑψώσεις.

### Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἱλέῳ ὄμματί σου, ἴδε Ἀθλοφόρε, τοὺς τῷ σεπτῷ σου Ναῷ προσεδρεύοντας, καὶ τὴν σὴν χάριν παράσχου τοῖς ἐξαιτοῦσί σε.

Μετόχους κοινωνίας, θείας ἐνεργείας, δι' ἐναρέτου ζωῆς Μάρτυς ἔργασαι τοὺς ἀδιστάκτῳ καρδίᾳ σὲ μεγαλύνοντας.

Ὀδύνης ἀφορήτου, τῆς ἐντεροκήλης καὶ κοσμικῶν με σκανδάλων καὶ θλίψεων τόν σε ποθοῦντα Ἀρτέμιε διαφύλαττε.

Θεοτοκίον.

Ὑψίστου Βασιλέως ἔκλαμπρε καθέδρα τῆς νοερᾶς μὲ αἰσθήσεως ἔργασαι, ἔμψυχον θρόνον Παρθένε θεοχαριτωτε.

Τὸ Ἄξιον ἐστὶ καὶ τὰ Μεγαλυνάρια.

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, καὶ τῆς Ἐκκλησίας, ὑποβάθρα θεοπαγής· χαίροις ὁ πηγάζων, χαρίτων θεῖα ῥεῖθρα, Ἀρτέμιε τρισμάκαρ ἡμῶν βοήθεια.

Δόξαν ὑπατείας ὑπεριδών, πρὸς ὕπατον κλέος δι' ἀγώνων μαρτυρικῶν, ἤρθης ἀριδήλως, λαμπρῶς ἀνδραγαθήσας, Ἀρτέμιε ὁπλῖτα Χριστοῦ πανθάμαστε.

Λόγοις σου σοφίας διατρανῶν, τῆς θεοσεβείας, τὸ μυστήριον ἐμφανῶς, τὴν τοῦ παραβάτου, κατήσχυνας μανίαν, ἐν ἀηττήτοις ἔργοις, Μάρτυς Ἀρτέμιε.

Χαίροις Ὀρθοδόξων ὁ βοηθός· χαίροις τῶν θαυμάτων, συμπαθέστατος χορηγός· χαίροις τῶν πασχόντων, τερπνὴν παρηγορία, Ἀρτέμιε θεόφρων, Ἀγγέλων σύμφυτε.

Τῆς ἐντεροκήλης τῶν ὀδυνῶν, ἰατὴρ ὑπάρχων ὡς φιλάγαθος ἀληθῶς, ῥῦσαί με τῆς ταύτης ἀνάγκης Ἀθλοφόρε, ὑγείαν μοι βραβεύων καὶ ἀπολύτρωσιν.

Θρόνῳ παριστάμενος τοῦ Χριστοῦ, μὴ παύσῃ ἐκεῖθεν ἐποπτεύων καὶ ἐφορῶν τοὺς ἐν τῷ σεπτῷ σου, Τεμένει προσιόντας, καὶ σὲ ὑμνολογοῦντας Μάρτυς Ἀρτέμιε.

**Πᾶσαι τῶν Ἀγγέλων.**

**Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς.**

**Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.**

Πάντων τὰς αἰτήσεις καὶ φωνάς, τῶν εἰλικρινῶς προσιόντων τῇ προστασίᾳ σου, πρόσδεξαι καὶ πλήρωσον Μάρτυς Ἀρτέμιε, ἀναγκῶν ἐξαιρούμενος, καὶ νόσων παντοίων καὶ ποικίλων θλίψεων ἡμᾶς ἑκάστοτε, ὅπως ὡς θερμόν σε προστάτην, καὶ θεοειδῆ προμηθέα, ἐν παντὶ καὶ πάσῃ μακαρίζωμεν.

**Δέσποινα πρόσδεξαι...**

**Τὴν πᾶσαν ἐλπίδα μου...**

**Τῇ πρεσβείᾳ Κύριε...**

**Δίστιχον.**

Λύτρωσαι Ἀρτέμιε πάσης ἀνάγκης
Γεράσιμον πλέξαντα τόν δε σοὶ ὕμνον.

## ΑΠΟΛΥΤΙΚΙΟΝ

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Εὐσεβείας τοῖς τρόποις καλλωπιζόμενος ἀθλητικῆς ἀγλαΐας ὤφθης σοφὲ κοινωνός, πρὸς ἀγῶνας ἀνδρικοὺς παραταξάμενος· ὅθεν ὡς λύχνος φωταυγής, τῶν χαρίτων τὰς βολάς, ἐκλάμπεις τῇ οἰκουμένῃ Ἀρτέμιε Ἀθλοφόρε, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἕτερα Μεγαλυνάρια

Ρῦσαι ἐκ κινδύνων καί πειρασμῶν, θλίψεως καί νόσου, πάσης βλάβης καί συμφορᾶς, τά τέκνα σου Μάρτυς Ἀρτέμιε Τρισμάκαρε, καί πρέσβευε ἀπαύστως ὑπέρ τῆς Ποίμνης σου.

Αἴτησαι εἰρήνην παρά Θεοῦ, ὁμόνοιαν σκέπην μέχρι τέλους ὑπομονήν, ψυχῶν σωτηρίαν ἡμῖν τοῖς σοῖς ἱκέταις, εἰς δόξαν τοῦ Κυρίου Μάρτυς Ἀρτέμιε.

